Harp. πεποίηται. φαcὶ δὲ ὅτι λοιμοῦ κατὰ πᾶcαν τὴν οἰκουμένην γεγονότος ἀνεῖλεν ὁ Ἀπόλλων μαντευομένοις Ἕλληcι καὶ βαρβάροις τὸν Ἀθηναίων δῆμον ὑπὲρ πάντων εὐχὰς ποιήcαcθαι. πρεcβευομένων δὲ πολλῶν ἐθνῶν πρὸς αὐτοὺς, καὶ Ἄβαριν ἐξ Ὑπερβορέων πρεcβευτὴν ἀφικέcθαι

E λέγουcι κατὰ τὴν γ' Ὀλυμπιάδα. ὅτι τοὺς Ἀβάρις οἱ Βούλγαροι κατὰ

E κράτος ἄρδην ἠφάνιcαν. ὅτι οἱ Ἀβάρις οὗτοι ἐξήλαcαν Σαβίνωρας, μετανάcται γενόμενοι ὑπὸ ἐθνῶν οἰκούντων μὲν τὴν παρωκεανῖτιν ἀκτήν, τὴν δὲ χώραν ἀπολιπόντων διὰ τὸ ἐξ ἀναχύcεως τοῦ Ὠκεανοῦ ὁμιχλῶδες γινόμενον, καὶ γρυπῶν δὲ πλῆθος ἀναφανέν· ὅπερ ἦν λόγος μὴ πρότερον παύcαcθαι πρὶν ἢ βορὰν ποιῆcαι τὸ τῶν ἀνθρώπων γένος. διὸ δὴ ὑπὸ τῶνδε ἐλαυνόμενοι τῶν δεινῶν τοῖς πληcιοχώροις ἐνέβαλλον· καὶ τῶν ἐπιόντων δυνατωτέρων ὄντων οἱ τὴν ἔφοδον ὑφιcτάμενοι μετανίcταντο, ὥcπερ καὶ οἱ Σαράγουροι ἐλαθέντες πρὸς τοῖς Ἀκατί-

Δ ροις Οὔννοις ἐγένοντο. κλίνεται δὲ Ἄβαρις, Ἀβάριδος, τοὺς Ἀβάριδας, καὶ κατὰ ἀποκοπὴν Ἀβάρις. ζήτει περὶ τῶν αὐτῶν ἐν τῷ Βούλγαροι.

Δ 19 Ἀβαρνίς: ὄνομα πόλεως.

Hesy. 20 Ἄβας· σοφιcτής, Ἱcτορικὰ ὑπομνήματα καὶ Τέχνην ῥητορικὴν καταλιπών.

Σ 21 Ἀβαcάνιcτος: ἀγύμναcτος ἢ ἀνεξέταcτος, ἀδοκίμαcτος. εἴρηται δὲ ἀπὸ τῆς βαcάνου τῆς χρυcοχοϊκῆς λίθου, ἐν ᾗ δοκιμάζουcι τὸ χρυcίον. ἐχρήcατο δὲ Αἰλιανὸς ἐν τῷ περὶ προνοίας τῷ ἀβαcάνιcτος ἀντὶ τοῦ ἄνευ ὀδύνης.

Δ 22 Ἀβάcκανος: ἀψευδής, ἀνεπίφθονος. ὁ δὲ μάρτυς ἀβάcκανος

E γίνεται πρὸς Καίcαρα τῶν Ἀντιπάτρου κατορθωμάτων.

Σ 23 Ἄβατον: ἱερὸν, ἀπρόcιτον, ἔρημον· καὶ ὁδὸς ἄβατος, ἡ ἀπόρευτος.

Δ 24 Ἀβαχθανῆ: λέξις Ἑβραϊκή.

Σ 25 Ἀβδέλυκτα: τὰ μὴ μιαίνοντα, ἃ οὐκ ἄν τις βδελυχθείη καὶ δυcχεράνειε. τραγικωτέρα δὲ ἡ λέξις. Αἰcχύλος Μυρμιδόcι· καὶ μήν, φιλῶ γάρ, ἀβδέλυκτ' ἐμοὶ τάδε.